Μάρκῳ τῷ παπαδοπούλῳ, ἀνδρὶ εὐγενεστάτῳ, Μάξιμος ὁ Μαργούνιος, ταπεινὸς Ἐπίσκοπος Κυθήρων, εὖ πράττειν:

Περὶ ἀρετῆς τῆς τε κατὰ διάνοιαν, καὶ τῆς κατὰ τὰ ἤθη θεωρου-
μένης, πολλὰ μὲν καὶ κάλλιστα τῷ, τε Ἀριστοτέλει, καὶ ἄλλοις τῶν παλαιο-
τέρων διαπεπόνηται, ἀνδρῶν μοι φίλτατε, καὶ εὐγενέστατε Μάρκε, δι᾽ ὧν
πᾶς ὅστις τὰ τῆς ψυχῆς κατακοιμίζοι πάθη, καὶ περὶ τὰς φαύλας τῶν ἡδο-
νῶν, ἀνορέκτως γίγνοιτο, τήν τε φρόνησιν τὴν πρὸς εὐδαιμονίαν συντείνου-
σαν ἐξασκοίη ἐπιτηδεύμασι, καὶ πρὸς τὰς ὀργὰς δυσκινήτως ἔχοι, καὶ τὸ κατ᾽
ἀξίαν ἑκάστῳ διανέμοι, σὺν τῷ, καὶ θανάτου ὅλως, εἴποτ᾽ ἄρα καὶ τούτου δεήσειε,
καταφρονεῖν, ὧν ἕκαστον τὸν ἀληθῆ ἀπαρτίζει σπουδαῖον, ἄριστα ἐκπαιδεύε-
ται. ἐγὼ δέ σε ἔμψυχόν τινα τῶν ἀρετῶν εἰκόνα εἶναι, καὶ πάνυ ἐμαυτὸν
πεπεικώς, τὴν περὶ τούτων ταυτηνί, σύντομον μέν, ἀλλ᾽ ἐπωφελῆ μάλα πα-
ράδοσιν, προσηκόντως σοι προσφωνῆσαι διενοήθην, τὰ σὰ μέν σοι ἀποδιδοὺς
ἢ σοὶ δὲ μᾶλλον ἢ ἄλλοις διὰ σοῦ χαριζόμενος, ἵν᾽ ὥσπερ τινὶ κατόπτρῳ τῷ σῷ
κάλλει τούτοις ἐνατενίζοντες, ἀποδιδράσκοιεν μὲν τὰ περὶ τὰ ἤθη φευκτά,
ἀντιποιοῖντο δὲ τοὔμπαλιν τῶν περὶ τὰ αὐτὰ διωκτῶν, καὶ οὕτω φιλόκαλοί τι-
νες περὶ τὸ τῆς ψυχῆς κάλλος ἐς δύναμιν διαμένοντες, παρά τε θεῷ, καὶ
ἀνθρώποις εὐδαιμονίζοιντο. τὰ γὰρ κατὰ σέ, δι᾽ ἀρετῆς ὑπερβολήν, ἡρωϊκόν τι
μᾶλλον ἐν ἑαυτοῖς ἐπιφέρεται. ὡς εἰ, καθάπερ τινές φασιν, ἐξ ἀνθρώπων γί-
νονται θεοί, σοὶ καὶ τοῦτο διὰ τὴν ἄκραν περὶ τὰς ἀρετὰς ἕξιν, μάλιστα ἐφαρμότ-
τειν. σημεῖον δέ, τό, τε περὶ τὸ θεῖόν σου, εὐσεβές, καὶ ἡ περὶ τὰ πρακτέα
σύνεσίς τε καὶ φρόνησις, τό, τε ἄγαν σῶφρον, καὶ τὸ ἐν ἐλευθεριότητι μεγαλο-
πρεπές, καὶ τἄλλα, δι᾽ ὧν ἕκαστον, οὔτοι σε ἀνδρὸς θνητοῦ παῖν ἔμμεναι,
ἐοικέναι καὶ καθ᾽ ὅμηρον εἴπω, οἴομαι, ἀλλὰ θεοῖο, ταῦτα κατά τινα θεόσδο-
τον οὕτως μοῖραν καταπλουτήσαντα. ἐγὼ μὲν οὖν πολὺ τῶν πρὸς τὴν σὴν
ἀξίαν ἀπολειπομένῳ σύνοιδα ἐμαυτῷ. σὺ δὲ τῇ συνήθει σου τῶν τρόπων
χρηστότητι κἀν τούτῳ χρησάμενος, ἅπερ ἄλλοις διὰ σοῦ δωροῦμαι, ἀποδέξα-
σθαι φιλοφρόνως παρακαλῶ μὴ ἀπαξιώσειας: ἐρρωμένον σε διαφυ-
λάττοι ὁ Χριστὸς ψυχῇ τε καὶ σώματι ἀνδρῶν εὐγενέστατέ μοι καὶ προσφιλέστατε.
Ἐνετίηθεν, μεταγειτνιῶνος τετάρτῃ ἐπὶ δεκάτῃ, καὶ τὸ ,αφϙ´ ἔτος τῆς ἐν- A. 1590.
σάρκου τοῦ σωτῆρος ἡμῶν οἰκονομίας:·